ΗΛ. Δμωαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
Επεὶ πάρεςε τῆσδε προςτροπῆς ἐμοὶ
Πομποὶ, γένεσθε τῶνδε σύμβουλοι πέρι.
Τύμβῳ χέουσα τάσδε κηδείους χοὰς,
Πῶς εὔφρον' εἴπω; πῶς κατεύξωμαι πατρί;
Πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν
Γυναικὸς ἀνδρὶ, τῆς ἐμῆς μητρὸς πάρα;
Τῶνδ' οὐ πάρεςι θάρσος, οὐδ' ἔχω τί φῶ,
Χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός.
Ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς
Ἔς', ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
Στέφη, δόσιν τε τῶν κακῶν ἐπαξίαν;
Ἢ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
Πατὴρ, τάδ' ἐκχέουσα, γάποτον χύσιν,
Στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν,
Δικοῦσα τεῦχος ἀςρόφοισιν ὄμμασιν;
Τῆσδ' ἐςὲ βουλῆς, ὦ φίλαι, μεταίτιαι.
Κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.
Μὴ κεύθετ' ἔνδον καρδίας, φόβῳ τινός.
Τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει,
Καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
Λέγοις ἂν, εἴ τι τῶνδ' ἔχοις ὑπέρτερον.
ΧΟ. Αἰδουμένη σοὶ, βωμὸν ὣς, τύμβον πατρὸς
Λέξω, κελεύεις γὰρ, τὸν ἐκ φρενὸς λόγον.
ΗΛ. Λέγοις ἂν, ὥσπερ ᾐδέσω τάφον πατρός.
ΧΟ. Φθέγγου χέουσα σεμνὰ τοῖσιν εὔφροσιν.
ΗΛ. Τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;